ΙΑΚ

14

# ΑΚΟΛΟΥΘΙΑ

ΤΟΥ

ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

## ΕΥΘΥΜΙΟΥ

ΕΠΙΣΚΟΠΟΥ ΣΑΡΔΕΩΝ ΤΟΥ ΟΜΟΛΟΓΗΤΟΥ.

Θεωρηθεῖσα, ἐπιδιορθωθεῖσά τε καὶ ἐπιμελῶς ἐπεξεργασθεῖσα

ΥΠΟ

ΙΑΚΩΒΟΥ ΙΕΡΟΔΙΑΚΟΝΟΥ

Τοῦ ἐκ Μηθύνης.

Δεύτερον ἤδη Τύποις ἐκδοθεῖσα, φιλοτίμῳ δαπάνῃ

τοῦ τε Σεβασμιωτάτου Ἁγίου Γέροντος

Χαλκηδόνος Κυρίου Κυρίου

**ΙΕΡΟΘΕΟΥ**

Καὶ τῶν ἐν τῇ Πολιτείᾳ Χίλῃ φιλορθοδόξων

Εὐσεβῶν Χριστιανῶν.

**ΕΝ ΑΘΗΝΑΙΣ.**

ΕΚ ΤΗΣ ΤΥΠΟΓΡΑΦΙΑΣ Δ. Ζ. ΓΑΖΗ.

ΔΙΕΥΘΥΝΟΜΕΝΗΣ ΥΠΟ

ΔΑΜΙΑΝΟΥ ΔΗΜΗΤΡΙΑΔΟΥ.

1852.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

3233

B6

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

# ἈΚΟΛΟΥΘΙΑ

ΤΟΥ

ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΕΥΘΥΜΙΟΥ.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ΚΑΙ ΤΟΥΔΕ ΚΤΗΤΩΡ
ΕΝ ΚΩΝ/ΠΟΛΕΙ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ
ΑΡ. 2409
ΒΙΒΛΙΟΘΗΚΗ ΣΙΔΕΡΙΔΟΥ



**Ο ΑΓΙΟΣ ΕΥΘΥΜΙΟΣ**
ΕΠΙΣΚΟΠΟΣ ΣΑΡΔΕΩΝ.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

*Ποιμὴν ἄριστος εὐκλεοῦς Χαλκηδόνος*
*Ἱερόθεος δέδωκεν εὐσεβοφρόνως.*
*Σὴν εἰκόνα Ὅσιε εἷς τυπουφάος·*
*Χάριν νέμοις ᾧ, καὶ λαῷ χριστονύμῳ.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

# ΑΚΟΛΟΥΘΙΑ

ΤΟΥ

ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

## ΕΥΘΥΜΙΟΥ

ΕΠΙΣΚΟΠΟΥ ΣΑΡΔΕΩΝ ΤΟΥ ΟΜΟΛΟΓΗΤΟΥ.

*Θεωρηθεῖσα, ἐπιδιορθωθεῖσά τε καὶ ἐπιμελῶς ἐπεξεργασθεῖσα*

ΥΠΟ

ΙΑΚΩΒΟΥ ΙΕΡΟΔΙΑΚΟΝΟΥ

Τοῦ ἐκ Μηθύνης.

Δεύτερον ἤδη Τύποις ἐκδοθεῖσα, φιλοτίμῳ δαπάνῃ

τοῦτε τε Σεβασμιωτάτου Ἁγίου Γέροντος

Χαλκηδόνος Κυρίου Κυρίου

**ΙΕΡΟΘΕΟΥ**

Καὶ τῶν ἐν τῇ Πολιτείᾳ Χίλῃ φιλορθοδόξων

Εὐσεβῶν Χριστιανῶν.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

**ΕΝ ΑΘΗΝΑΙΣ.**

ΕΚ ΤΗΣ ΤΥΠΟΓΡΑΦΙΑΣ Δ. Ζ. ΓΑΖΗ.

ΔΙΕΥΘΥΝΟΜΕΝΗΣ ΥΠΟ

ΔΑΜΙΑΝΟΥ ΔΗΜΗΤΡΙΑΔΟΥ.

1852.

« Ἐγκωμιαζομένου δικαίου, εὐφρανθήσονται λαοί,
ἀθανασία γάρ ἐστιν ἡ μνήμη αὐτοῦ, ὅτι καὶ
παρὰ Θεῷ γινώσκεται, καὶ παρὰ ἀνθρώποις. »

Σοφὸς Σολομών.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Τῼ ΠΑΝΙΕΡΩΤΑΤῼ ΚΑΙ ΣΕΒΑΣΜΙΩΤΑΤῼ

ΑΓΙῼ ΓΕΡΟΝΤΙ ΧΑΛΚΗΔΟΝΟΣ

ΚΥΡΙῼ ΚΥΡΙῼ

# ΙΕΡΟΘΕῼ.

*Οἱ φιλευσεβεῖς Χριστιανοὶ*

*ἀνατιθέασιν.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

# ΑΚΟΛΟΥΘΙΑ

## ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΕΥΘΥΜΙΟΥ

## ΕΠΙΣΚΟΠΟΥ ΣΑΡΔΕΩΝ ΤΟΥ ΟΜΟΛΟΓΗΤΟΥ.

## ΔΕΚΕΜΒΡΙΟΥ ΚϚʹ.

*Ἡ Σύναξις τῆς Ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου*
*Καὶ τοῦ Ἁγίου Ἰωσὴφ τοῦ Μνήστορος,*
*Καὶ Μνήμη τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Εὐθυμίου*
*Ἐπισκόπου Σάρδεων τοῦ Ὁμολογητοῦ.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

*Ἐν τῷ μεγάλῳ Ἑσπερινῷ, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους ϛʹ. καὶ ψάλλομεν στιχηρὰ ἰδιόμελα τῆς ἑορτῆς Γʹ. καὶ τοῦ Ἁγίου προσόμοια Γʹ.*

*Τῆς ἑορτῆς. ἦχος βʹ.*

Δεῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ, τὸ παρὸν μυστήριον ἐκδιηγούμενοι. Τὸ μεσότειχον τοῦ φραγμοῦ διαλέλυται, ἡ φλογίνη ῥομφαία τὰ νῶτα δίδωσι, καὶ τὰ Χερουβὶμ παραχωρεῖ τοῦ ξύλου τῆς ζωῆς· κἀγὼ τοῦ παραδείσου τῆς τρυφῆς μεταλαμβάνω, οὗ προεξεβλήθην διὰ τῆς παρακοῆς. Ἡ γὰρ ἀπαράλλακτος εἰκὼν τοῦ Πατρὸς, ὁ χαρακτὴρ τῆς ἀϊδιότητος αὐτοῦ, μορφὴν δούλου λαμβάνει, ἐξ ἀπειρογάμου Μητρὸς προελθών· οὐ τροπὴν ὑπομείνας· ὃ γὰρ ἦν διέμεινε Θεὸς ὢν ἀληθινὸς, καὶ ὃ οὐκ ἦν προσέλαβεν, ἄνθρωπος γενόμενος διὰ φιλανθρωπίαν· αὐτῷ βοήσωμεν, ὁ τεχθεὶς ἐκ Παρθένου Θεὸς, ἐλέησον ἡμᾶς.

Τοῦ Κυρίου Ἰησοῦ γεννηθέντος ἐκ τῆς ἁγίας Παρθένου, πεφώτισται τὰ σύμπαντα. Ποιμένῳ γὰρ ἀγραυλούντων, καὶ Μάγων προσκυνούντων, Ἡρώδης ἐταράττετο· ὅτι Θεὸς ἐν σαρκὶ ἐφάνη, Σωτὴρ τῶν ψυχῶν ἡμῶν.

Τί σοι προσενέγκωμεν Χριστὲ, ὅτι ὤφθης ἐπὶ γῆς ὡς ἄνθρωπος δι᾽ ἡμᾶς! ἕκαστον γὰρ τῶν ὑπὸ σοῦ γενομένων κτισμάτων, τὴν εὐχαριστίαν σοὶ προσάγει· οἱ Ἄγγελοι τὸν ὕμνον, οἱ οὐρανοὶ τὸν Ἀστέρα, οἱ Μάγοι τὰ δῶρα, οἱ Ποιμένες τὸ θαῦμα, ἡ γῆ τὸ Σπήλαιον, ἡ ἔρημος τὴν Φάτνην· ἡμεῖς δὲ Μητέρα Παρθένου· ὁ πρὸ αἰώνων Θεὸς ἐλέησον ἡμᾶς.

Τοῦ Ἁγίου. ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Τὸν ἐν Σπηλαίῳ καὶ φάτνῃ ἀνακλιθέντα Θεὸν, ὑπὸ Μητρὸς Παρθένου, ἀντλλοίωνον λόγον, ἐκήρυξας τρισμάκαρ, Υἱὸν τοῦ Θεοῦ, καὶ θεάνθρωπον τέλειον· οὗ τὴν εἰκόνα Εὐθύμιε προσκυνῶν, αἰκισμοὺς πολλοὺς ὑπήνεγκας.

Γενναιοτάτῃ καρδίᾳ καὶ σταθερῷ λογισμῷ, ὑπὲρ τῆς τοῦ Κυρίου, σεβασμίας εἰκόνος, καὶ πάντων τῶν Ἁγίων, τὸν δυσσεβῆ, κατεβρόντησας λέοντα· ὅθεν πικραῖς ἐξορίαις καὶ φυλακαῖς, προσωμίλησας Εὐθύμιε.

Σὺν ταῖς Ἀγγέλων χορείαις, Πάτερ Εὐθύμιε, τῷ θρόνῳ τῷ ἀστέκτῳ, παριστάμενος μάκαρ, μνημόνευε τῶν πίστει τὴν ἱερὰν, εὐφημούντων σου ἄθλησιν, καὶ ἀνυμνούντων ἀπαύστως τὰ εὔκλεῆ, καὶ σεπτά σου κατορθώματα.

Δόξα. ἦχος πλ. β΄. Τοῦ Ἁγίου.

Πάρεστιν ἁρμοδίως ἐν τῷ παρόντι, μετὰ τοῦ θεοπάτορος Δαβὶδ προσφθέγξασθαι· Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ. τετίμηται γάρ σου ἡ μνήμη πρὸς Θεοῦ, τοῖς παραδόξοις θαύμασιν, Ἱεράρχα Εὐθύμιε. Τὸ δε πολύαθλόν σου σκῆνος, πρόκειται πᾶσι τοῖς πιστῶς προσιοῦσι, πηγὴ ἀδάπανος ἰαμάτων. Διὸ παράσχου καὶ ἡμῖν ταῖς ὑμνηταῖς σου, φωτισμὸν παρὰ Θεοῦ, καὶ ἱλασμὸν ταῖς πρεσβείαις σου.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Καὶ νῦν. ὁ αὐτός. Τῆς Ἑορτῆς.

Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη. Σήμερον δέχεται ἡ Βηθλεὲμ, τὸν καθήμενον διὰ παντὸς σὺν Πατρί. Σήμερον Ἄγγελοι τὸ βρέφος τὸ τεχθὲν θεοπρεπῶς δοξολογοῦσι. Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.

Εἴσοδος. Τὸ Φῶς ἱλαρὸν, Εἰς οὕτω τὸ Προκείμενον.
ἦχος βαρύς.

Τίς Θεὸς μέγας ὡς ὁ Θεὸς ἡμῶν; σὺ εἶ ὁ Θεὸς, ὁ ποιῶν θαυμάσια μόνος.

στίχος. Ἐγνώρισα ἐν τοῖς λαοῖς την δύναμίν σου.
Τίς Θεὸς μέγας.
στίχ. Καὶ εἶπα. Νῦν ἠρξάμην, αὕτη ἡ ἀλλοίωσις τῆς δεξιᾶς τοῦ ὑψίστου.
Τίς Θεὸς μέγας.
στίχ. Ἐμνήσθην τῶν ἔργων Κυρίου.
Τίς Θεὸς μέγας. Καὶ τὰ ἀναγνώσματα.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Παροιμιῶν τὸ ἀνάγνωσμα.

Μνήμη δικαίου μετ᾽ ἐγκωμίων, καὶ εὐλογία Κυρίου ἐπὶ κεφαλὴν αὐτοῦ. Μακάριος ἄνθρωπος, ὃς εὗρε σοφίαν, καὶ θνητὸς ὃς εἶδε φρόνησιν. Κρείσσων γὰρ αὐτὴν ἐμπορεύεσθαι, ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς. Τιμιωτέρα δὲ ἐστὶ λίθων πολυτελῶν. Οὐκ ἀντιτάσσεται αὐτῇ οὐδὲν πονηρόν. Εὔγνωστος ἐςὶ πᾶσι τοῖς ἐγγίζουσιν αὐτῇ· πᾶν δὲ τίμιον οὐκ ἄξιον αὐτῆς ἐστίν. Ἐκ γὰρ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη· νόμον δὲ καὶ ἔλεον ἐπὶ γλώσσης φορεῖ. Τοιγαροῦν ἀκούσατέ μου, ὦ τέκνα, σεμνὰ γὰρ ἐρῶ καὶ μακάριος ἄνθρωπος ὃς τὰς ἐμὰς ὁδοὺς φυλάξει· αἱ γὰρ ἔξοδοί μου ἔξοδοι ζωῆς, καὶ ἑτοιμάζεται θέλησις παρὰ Κυρίου. Διὰ τοῦτο παρακαλῶ ὑμᾶς, καὶ προΐεμαι ἐμὴν φωνὴν υἱοῖς ἀνθρώπων, ὅτι ἐγὼ ἡ Σοφία κατεσκεύασα βουλὴν καὶ γνῶσιν καὶ ἔννοιαν· ἐγὼ ἐπεκαλεσάμην. ἐμὴ βουλὴ καὶ ἀσφάλεια, ἐμὴ φρόνησις, ἐμὴ δὲ ἰσχύς. Ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ· οἱ δὲ ἐμὲ ζητοῦντες, εὑρίσουσι χάριν· Νοήσατε τοίνυν ἄκακοι πανουργίαν, οἱ δὲ ἀπαίδευτοι ἔνθεσθε καρδίαν. Εἰσακούσατέ μου καὶ πάλιν, σεμνὰ γὰρ ἐρῶ, καὶ ἀνοίγω ἀπὸ χειλέων ὀρθά. Ὅτι ἀλήθειαν μελετήσει ὁ λάρυγξ μου, ἐβδελυγμένα δὲ ἐναντίον ἐμοῦ χείλη ψευδῆ Μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα τοῦ στόματός μου, Οὐδὲν ἐν αὐτοῖς

σκολιὸν, οὐδὲ στραγγαλιῶδες· Πάντα εὐθέα ἐστὶ τοῖς νοοῦσι, καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν. Διδάσκω γὰρ ὑμῖν ἀληθῆ, ἵνα γένηται ἐν Κυρίῳ ἡ ἐλπὶς ὑμῶν, καὶ πλησθήσεσθε πνεύματος.

Παροιμιῶν τὸ ἀνάγνωσμα·

ΣΤόμα δικαίου ἀποστάζει σοφίαν, γλῶσσα δὲ ἀσεβῶν ἐξολεῖται, χείλη ἀνδρῶν δικαίων ἐπίστανται χάριτας, γλῶσσα δὲ ἀσεβῶν καταστρέφεται· Ζυγοὶ δόλιοι βδέλυγμα ἐνώπιον Κυρίου, στάθμιον δὲ δίκαιον δεκτὸν αὐτῷ. Οὗ ἐὰν εἰσέλθῃ ὕβρις, ἐκεῖ καὶ ἀτιμία· στόμα δὲ ταπεινῶν μελετᾷ σοφίαν· Τελειότης εὐθέων ὁδηγήσει αὐτοὺς, καὶ ὑποσκελισμὸν ἀθετούντων προνομεύσει αὐτούς. Οὐκ ὠφελήσει ὑπάρχοντα ἐν ἡμέρᾳ θυμοῦ, δικαιοσύνη δὲ ῥύσεται ἀπὸ θανάτου· Ἀποθανὼν δίκαιος ἔλειπε μετάμελον, πρόχειρος δὲ γίνεται καὶ ἐπίχαρτος ἀσεβῶν ἀπώλεια. Δικαιοσύνη ἀμώμου ὀρθοτομεῖ ὁδοὺς, ἀσεβείᾳ δὲ περιπίπτει ἀδικία. Δικαιοσύνη ἀνδρῶν ὀρθῶν ῥύσεται αὐτοὺς, τῇ δὲ ἀβουλίᾳ ἁλίσκονται παράνομοι. Τελευτήσαντος ἀνδρὸς δικαίου, οὐκ ὄλλυται ἐλπίς· τὸ δὲ καύχημα τῶν ἀσεβῶν ὄλλυται. Δίκαιος ἐκ θήρας ἐκδύνει, ἀντ' αὐτοῦ δὲ παραδίδοται ὁ ἀσεβής· Ἐν στόματι ἀσεβῶν παγὶς πολίταις, αἴσθησις δὲ δικαίων εὔοδος· Ἐν ἀγαθοῖς δικαίων κατόρθωται πόλις, καὶ ἐν ἀπωλείᾳ ἀσεβῶν ἀγαλλίαμα· Ἐν εὐλογίᾳ εὐθέων ὑψωθήσεται πόλις, στόματι δὲ ἀσεβῶν κατασκαφήσεται· μυκτηρίζει πολίτας ἐνδεὴς φρενῶν, ἀνὴρ δὲ φρόνιμος ἡσυχίαν ἄγει.

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.

ΔΙκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται· Γῆρας γὰρ τίμιον, οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δὲ ἐστὶ φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος· Εὐάρεστος Θεῷ γενόμενος ἠγαπήθη, καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη· ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος ἐμαυροῖ τὰ καλὰ, καὶ ῥεμβασμὸς ἐπιθυμίας, μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς Ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Καὶ γίνεται ἡ συνήθης ἐκτενή.

Εἰς τὴν Λιτὴν, ἦχος ά. Τῆς Ἑορτῆς.

Δόξα ἐν ὑψίστοις Θεῷ, ἐν Βηθλεέμ ἀκούω, ὑπὸ ἀσωμάτων σήμερον, τῷ ἐπὶ γῆς εἰρήνην, εὐδοκήσαντι γενέσθαι. Νῦν ἡ Παρθένος οὐρανῶν πλατυτέρα· ἐξανέτειλε εἰς φῶς τοῖς ἐσκοτισμένοις, καὶ ταπεινοὺς ὕψωσε, τοὺς ἀγγελικῶς μελῳδοῦντας, Δόξα ἐν ὑψίστοις Θεῷ

Ὁ αὐτός. Τοῦ Ἁγίου.

Εὐφραίνεται σήμερον λαμπρῶς ἡ τοῦ Χριστοῦ Ἐκκλησία, ἐν τῇ ἐνδόξῳ μνήμῃ σου, παμμάκαρ Εὐθύμιε. Τράπεζαν γὰρ παρατιθεμένη πνευματικὴν τὸ πολύαθλον σῶμά σου, θεῖον τε κρατῆρα κεράσασα, τὴν ὑπὲρ τῶν σεβασμίων εἰκόνων ὁμολογίαν σου, τοὺς πιστοὺς προτρέπεται πρὸς εὐωχίαν μυστικήν. Ὅθεν κατατρυφῶντες τοῖς θαυμασίοις σου Ὅσιε Πάτερ, αἰτοῦμεν σε πρεσβεύειν Χριστῷ τῷ Θεῷ ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ἦχος β'.

Τὴν τοῦ Χριστοῦ πανοπλίαν ἐνδεδυμένος, ὁμολογητὰ Εὐθύμιε, καὶ τὸν θυρεὸν τῆς πίστεως ἀναλαβὼν, τῶν αἱρετικῶν εἰκονομάχων ἐτροπώσω τὰς φάλαγγας· τοὺς δὲ πόδας ὑποδήσας ἐν ἑτοιμασίᾳ τοῦ Εὐαγγελίου τῆς εἰρήνης, μέχρι τέλους ἀντέστης ὑπὲρ τῆς εὐσεβείας ἀγωνιζόμενος· λοιπὸν ἀπόκειταί σοι ὁ τῆς δικαιοσύνης στέφανος, ὃν ἀποδώσει σοι ὁ Κύριος, ᾧ νῦν παριστάμενος, πρέσβευε ὑπὲρ τῶν τιμώντων σε.

Τὴν πρακτικὴν τῶν ἀρετῶν ἠμφιεσμένος διπλοΐδα, καὶ μυστικαῖς θεωρίαις τὸν νοῦν ἐλλαμπόμενος, κατὰ τὸν μέγαν Σαμουὴλ, τῷ Θεῷ ἀμέμπτως ἐλειτούργησας. Τὴν ἀρραγῆ δὲ πίστιν, ὡς ὁ θεῖος Ἀαρὼν τὸ λογεῖον τῆς κρίσεως ἐν τῇ καρδίᾳ φέρων, σεαυτὸν θυσίαν ἄμωμον τῷ δεσπότῃ προσήγαγες, Ἱεραρχῶν τὸ κλέος, καὶ Μαρτύρων ἐφάμιλλε, θαυματουργὲ Εὐθύμιε, πρέσβευε ὑπὲρ εἰρήνης τοῦ κόσμου, καὶ σωτηρίας τῶν ψυχῶν ἡμῶν.

ἦχος δ'.

ΑΝεπιστρόφῳ λογισμῷ τὴν εὐθεῖαν τῶν ἀρετῶν πορείαν ποιούμενος, καὶ πόνοις ἀσκητικοῖς τὸ ὀπτηκὸν τῆς ψυχῆς καθηράμενος, ὅλος φωτοειδὴς ἐχρημάτισας· ὅθεν θεοκρίτῳ ψήφῳ ἐπὶ τὴν λυχνίαν τῆς ἐκλησιαστικῆς ἱεραρχίας ἀνενεχθεὶς, ταῖς ἀκτῖσι τῆς εὐσεβείας τὴν ὑφήλιον πᾶσαν κατηύγασας· τῶν μὲν πιστῶν σελαγίζων τὰς διανοίας τοῖς ὑπερφώτοις δόγμασι, τῶν δὲ εἰκονομάχων ἐμπιπρῶν τὰ ἀχηρώδη διδάγματα· οἷς καὶ μέχρις αἵματος ἀντιταξάμενος, τὸν τῆς ὁμολογίας στέφανον παρὰ Χριστοῦ τοῦ Θεοῦ ἀπείληφας ᾧ καὶ πρεσβεύων μὴ ἐλλείπῃς ὑπὲρ τῶν πίστι καὶ πόθῳ τιμώντων, τὴν σεβάσμιον μνήμην σου.

Δόξα. ἦχος πλ. ά.

ΗΜέρα χαρμόσυνος, καὶ εὐθυμίας ἀνάπλεως, τοῖς πέρασιν ἀνέτειλε σήμερον μετὰ τῶν γενεθλίων τοῦ Σωτῆρος Χριστοῦ, ἡ τοῦ Ἱερομάρτυρος Εὐθυμίου πανένδοξος μνήμη, τῶν πιστῶν τὰς καρδίας καταφωτίζουσα, ταῖς ἀριστείαις τῶν παλαισμάτων αὐτοῦ. Δεῦτε οὖν φιλέορτοι, τὸ πολύαθλον αὐτοῦ περικυκλοῦντες σκῆνος, ἀσματικοῖς ἐγκωμίοις καταστέψωμεν, λέγοντες· χαίροις ὁ ποιμὴν ὁ καλὸς, ὁ τιθεὶς τὴν ψυχὴν ὑπὲρ τῶν προβάτων· χαίροις τῶν Ἱεραρχῶν τὸ ἀγλάϊσμα, καὶ τῶν ὁμολογητῶν τὸ ἐγκαλλώπισμα· χαίροις τῆς ἑβδόμης Συνόδου ὁ ὑπέρμαχος, καὶ τῆς εὐσεβείας ὑφηγητὴς διαπρύσιος· πρέσβευε δεόμεθα, ὑπὲρ τῶν τιμώντων σε.

Καὶ νῦν ὁ αὐτός. Τῆς ἑορτῆς.

ΟΡῶσα σε ἡ κτίσις ἅπασα, ἐν Βηθλεὲμ σαρκὶ τικτόμενον, τὸν δημιουργὸν καὶ κτίστην τῶν ἁπάντων, καινουργεῖται πάλιν καὶ ἀναπλάττεται. Ὁ ἥλιος δὲ τὸ φῶς ἐφήπλωσε, καὶ ἡ γῆ ἐπαγάλλεται. Καὶ μάγοι μὲν Περσίας Βασιλεῖς ἀστέρι ὁδηγούμενοι, ποιμένες δὲ θαυμάζοντες, Θεὸν σὺν τῇ Τεκούσῃ σὲ προσκυνοῦσιν· ὢ τοῦ θαύματος! ὁ τροφὸς τρέφεται ὑπὸ Μητρὸς Παρθένου, διὰ τὴν τοῦ κόσμου σωτηρίαν καὶ ἀνάπλασιν.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Εἰς τὸν στίχον, Στιχηρὰ προσόμοια· ἦχος πλ. ά.
*Χαίροις ἀσκητικῶν ἀληθῶς.*

ΧΑίρει ὁ οὐρανὸς καὶ ἡ γῆ, ἐν τῇ σῇ μνήμῃ θεοφόρε Εὐθύμιε, χοροὶ γὰρ τῶν Ἀσωμάτων, καὶ νοερῶν λειτουργῶν, τὸ σὸν πνεῦμα Πάτερ καταστέφουσι, πιστοὶ δὲ τὸ πάντιμον, καὶ πολύαθλον σῶμα σου, νῦν προσκυνοῦντες, καὶ πιστῶς ἀσπαζόμενοι, χάριν ἄφθονον, δαψιλῶς ἀρυώμεθα, πάθη ἀποκαθαίρουσαν καὶ νόσους διώκουσαν, ταῖς πρὸς Θεὸν εὐπροσδέκτοις, καὶ ἱεραῖς σου δεήσεσιν, ἀεὶ ὃν δυσώπει ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

ΧΑίρει ἡ Ἐκκλησία Χριστοῦ, φαιδρυνομένη τοῖς λαμπροῖς σου παλαίσμασι, τὸ πάλαι γὰρ γυμνωθεῖσαν, τῆς τῶν εἰκόνων σεπτῆς, εὐκοσμίας, Πάτερ, κατεκόσμησας, διδοὺς τὴν ἀρχαίαν τε καὶ οἰκείαν λαμπρότητα, τέρπεται νῦν δὲ, ἐν τοῖς κόλποις κατέχουσα, τὸ πολύαθλον καὶ μυρίπνοον σῶμά σου, κόσμον ὡς ἀναφαίρετον, καὶ δόξαν ἀκήρατον, ὃ προσκυνοῦντες ἐν πίστει, τὸν ἱλασμὸν ἐξαιτούμεθα· ἡμῖν δωρηθῆναι διὰ σοῦ καὶ τὴν εἰρήνην, μάκαρ Εὐθύμιε.

Στίχ. Οἱ ἱερεῖς σου Κύριε ἐνδύσονται δικαιοσύνην, καὶ οἱ ὅσιοί σου ἀγαλλιάσει ἀγαλλιάσονται.

ΦΕγγει τῶν θεουργῶν ἀρετῶν, προκαθαρθεὶς, τὴν θείαν χάριν τοῦ Πνεύματος, ἐδέξω ἐν τῇ καρδίᾳ καὶ ἐπαυξήσας λαμπρῶς, τὸ δοθέν σοι τάλαντον θεόληπτε, εἰσῆλθες γηθόμενος, εἰς χαρὰν τοῦ Κυρίου σου, συναγελάζων ταῖς ἀΰλοις δυνάμεσι, καὶ τὴν ἄϋλον φωταυγίαν δεχόμενος, μέμνησο τῶν τιμώντων σου, ἐν γῇ τὸ πολύαθλον, καὶ ἱερώτατον σκῆνος, Ἱερομάρτυς Εὐθύμιε, Χρσιτὸν ἱκενεύων, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Δόξα ἦχος πλ. δ'.

ΤΟ τῆς Ἱεραρχίας θεόσδοτον χάρισρα τοῖς μαρτυρικοῖς συμμίξας ἀγωνίσμασι, καὶ ἐν ἀμφοτέροις εὐδοκίμως ἐνδιαπρέψας, ὁμολογίᾳ τὸν βίον ἐλάμπρυνας. Ὅθεν καὶ τοῖς ὑπὲρ τῆς

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

εὐσεβείας καμάτοις τὴν τῶν εἰκονομάχων ἐκπολεμήσας αἵρεσιν, καὶ τὴν τῶν θείων εἰκόνων τιμητικὴν προσκύνησιν διὰ τῶν ἔργων βεβαιώσας, τὸ τῆς πίστεως κράτος ἐν τοῖς πέρασιν ἤγειρας. Νῦν δὲ Χριστῷ παριστάμενος τῷ πνεύματι, ὁμολογητὰ Εὐθύμιε, καὶ ἡμῖν καθορώμενος τῷ σώματι, τὰ πρὸς Θεὸν ἡμῖν ὡς ἄλλος Μωϋσῆς καθυπούργησον, πρεσβεύων ἀπαύστως ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν· ὁ αὐτὸς Τῆς ἑορτῆς.

ΕΝ Βηθλεὲμ συνέδραμον Ποιμένες, τὸν ἀληθῆ μηνύοντες Ποιμένα, τὸν καθήμενον ἐπὶ τῶν Χερουβὶμ, καὶ ἀνακείμενον ἐν φάτνῃ, νηπίου μορφὴν δι' ἡμᾶς ἀνειληφότα, Κύριε δόξα σοι.

Νῦν ἀπολύεις. Τὸ Τρισάγιον. Ὅτι σοῦ ἐστίν. Καὶ τὰ Τροπάρια.

Πρῶτον τῆς ἑορτῆς ἦχος δ'.

Ἡ γέννησίς σου Χριστέ. Δόξα τοῦ ἁγίου· ὁ αὐτός.

ΚΑὶ τρόπων μέτοχος, καὶ θρόνων διάδοχος, τῶν Ἀποστόλων γενόμενος, τὴν πρᾶξιν εὗρες θεόπνευστε, εἰς θεωρίας ἐπίβασιν. Διὰ τοῦτο τὸν λόγον τῆς ἀληθείας ὀρθοτομῶν, καὶ τῇ πίστει ἐνήθλησας μέχρις αἵματος, Ἱερομάρτυς Εὐθύμιε· πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Τῆς ἑορτῆς. Καὶ ἀπόλυσις.

---

Εἰς τὸν Ὄρθρον, μετὰ τὸ Θεὸς Κύριος, τὰ τροπάρια· εἶτα τὰ Καθίσματα.

Μετὰ τὴν ά. στιχολογίαν. Κάθισμα τοῦ Ἁγίου.

ἦχος γ'. Θείας πίστεως.

ΔΩρα τίμια Χριστῷ προσῆξας, νηπιάσαντι ἐκ τῆς Παρθένου, ἀντὶ χρυσοῦ μὲν τὴν πίστιν τὴν ἄρρηκτον, ἀντὶ λιβάνου δὲ βίου τὸ ἄμεμπτον, καὶ ἀντὶ σμύρνης τὸ τίμιον αἷμά σου, Πάτερ Ὅσιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Ο τῆς ἐπιπνοίας μετασχὼν τῆς ἀμείνω Ἀδὰμ χοϊκὸς, καὶ πρὸς φθορὰν κατολισθήσας, γυναικείᾳ ἀπάτῃ, Χριστῷ γυναικὸς βοᾷ ἐξ ὁρῶν, ὁ δὶ ἐμὲ κατ᾽ ἐμὲ γεγονὼς, ἅγιος εἶ Κύριε.

Σύμμορφος πηλίνης, εὐτελοῦς διαρτίας Χριστὲ γεγονὼς, καὶ μετοχῇ σαρκὸς τῆς χείρῳ, μεταδοὺς θείας φύτλης, βροτὸς πεφυκὼς, καὶ μείνας Θεὸς, ὁ ἀνυψώσας τὸ κέρας ἡμῶν ἅγιος εἶ Κύριε.

Βηθλεὲμ εὐφαίνου, ἡγεμόνων Ἰούδα βασίλεια· τὸν Ἰσραὴλ γὰρ ὁ ποιμένων, Χερουβὶμ ὁ ἐπ᾽ ὤμων, ἐκ σοῦ προελθὼν Χριστὸς ἐμφανῶς, καὶ ἀνυψώσας τὸ κέρας ἡμῶν, πάντων ἐβασίλευσεν.

Ἄλλος. Εὐφραίνεται ἐπὶ σοί.

Ιχώρας μαρτυρικοὺς, ἀντὶ λιβάνου καὶ χρυσοῦ σμύρνης τε, σὺ Ἱερεὺς προσήνεγκας, τῷ ἐν Βηθλεὲμ γεννηθέντι Χριστῷ.

Στερρότητι λογισμοῦ, καὶ γενναιότητι ψυχῆς ἤλεξας, τὸν δυσεβῆ Λέοντα, κατὰ τοῦ Σωτῆρος λυττήσαντα.

Στεφάνου σὺ μιμητὴς, τοῦ πρωτομάρτυρος Χριστοῦ γέγονας, τῶν φονευτῶν Εὐθύμιε, ὑπὲρ σωτηρίας εὐχόμενος.

Ετήρησας ἐμμελῶς, τὴν τοῦ Σωτῆρος ἐντολὴν Ὅσιε, καὶ τὴν ψυχὴν τέθεικας, ὑπὲρ τοῦ ποιμνίου Εὐθύμιε.

Θεοτοκίον.

Χωρίον χωρητικὸν, τοῦ ἀχωρήτου πλαστουργοῦ γέγονας, τοῦτον σαρκὶ χωρήσασα, Κεχαρητωμένη Πανάχραντε.

**Καταβασίαι.**

Τῷ πρὸ τῶν αἰώνων. καί
Νεῦσον πρὸς ὕμνους.

Τὸ Κοντάκιον τῆς Ἑορτῆς. Εἶτα τοῦ Ἁγίου.

ἦχος γ᾽. Ἡ Παρθένος σήμερον.

Ευθυμίας ἔμπλεως, καὶ θυμηδίας ἀῤῥήτου, φερωνύμως Ὅσιε,

ὑπὲρ τῶν θείων εἰκόνων, ἔφερες πικρῶν βασάνων τὰς ἀλγηδόνας, στέφανον τῆς ἀφθαρσίας σοὶ προξενούσας, διὰ τοῦτο ἀνεδείχθης, τῆς εὐσεβείας ὑπέρμαχος ἔνδοξος.

Ὁ Οἶκος.

ΤΩ ἐν εἰκόνι τυπουμένῳ θεανδρικῷ χαρακτῆρι ἐνατενίζων, καὶ διὰ τῆς προπτύξεως τὴν σχετικὴν ἀπονέμων προσκύνησιν καὶ τιμὴν, τὰς ὄψεις καὶ τὰ χείλη καθηγίαζες Ὅσιε, δἰ αὐτῆς δὲ πρὸς τὸ θεῖον ἀρχέτυπον διαβιβάζων τὸν νοῦν, καὶ τῷ γλυκυτάτῳ ἔρωτι τῆς αὐτοῦ ἀγαπήσεως τιτρωσκόμενος, τὰ τῆς θεόπαιδος θαύματα, καὶ τῶν Ἁγίων ἁπάντων τὰ κατορθώματα ἱστορεῖσθαι καὶ τιμᾶσθαι συνοδικῶς ἐβεβαίωσας, ὧν τὸν βίον καὶ τοὺς ὑπὲρ τῆς εὐσεβείας ἀγῶνας ζηλώσας, Βασιλεῖς παρανόμους διήλεγξας, τὴν τῶν θείων εἰκόνων προσκύνησιν δυσεβῶς ἀθετήσαντας. Ὅθεν καὶ διωγμοὺς ἀνδρειοφρόνως ἐγκαρτερήσας, καὶ ὁμολογίᾳ τὸν βίον ἐπισφραγίσας, εἰς οὐρανοὺς στεφανηφόρος, περιχαρῶς ἀνελήλυθας· διὰ τοῦτο ἀνεδείχθης, τῆς εὐσεβείας ὑπέρμαχος ἔνδοξος.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Κάθισμα τοῦ Ἁγίου.

Ἦχος ά. Τὸν τάφον σου Σωτήρ.

ΕΥθύμιον πιστοὶ, τὸν Χριστοῦ Ἱεράρχην, ἀθλήσαντα στεῤῥῶς, καὶ ἐχθροὺς καθελόντας, συμφώνως τιμήσωμεν, καὶ ᾠδαῖς καταστέψωμεν· καὶ γὰρ ῥήμασιν, εἰκονομάχων ἐλέγξας, τὴν δυσσέβειαν, ἐν παῤῥησίᾳ κηρύττει, εἰκόνων προσκύνησιν·

Τῆς Ἑορτῆς.

ΕΝ φάτνῃ δἰ ἡμᾶς, τῶν ἀλόγων ἐτέχθης, μακρόθυμε Σωτὴρ, νηπιάσας βουλήσει. Ποιμένες δὲ σὲ ὕμνησαν, μετ' Ἀγγέλων κραυγάζοντες. Δόξα, αἴνεσις, τῷ ἐπὶ γῆς γεννηθέντι, καὶ ὑψώσαντι, τῶν γηγενῶν τὴν οὐσίαν, Χριστῷ τῷ Θεῷ ἡμῶν.

Ὠδὴ δ'. Ὁ Εἱρμός.

ΡΑβδος ἐκ τῆς ῥίζης, Ἰεσσαὶ, καὶ ἄνθος ἐξ αὐτῆς Χριστέ· ἐκ

τῆς Παρθένου ἀνεβλάστησας, ἐξ ὄρους ὁ αἰνετὸς, κατασκίου δασέος· ἦλθες σαρκωθεὶς ἐξ Ἀπειράνδρου ὁ ἄϋλος καὶ Θεὸς, δόξα τῇ δυνάμει σου Κύριε.

ΟΝ πάλαι προεῖπεν Ἰακὼβ, ἐθνῶν ἀπεκδοχὴν Χριστὲ, φυλῆς Ἰούδα ἐξανέτειλας, καὶ δύναμιν Δαμασκοῦ, Σαμαρείας, Σκῦλά τε, ἦλθες προνομεύσας πλάνην τρέπων, εἰς πίστιν θεοπρεπῆ, δόξα τῇ δυνάμει σου Κύριε.

ΤΟῦ Μάντεως πάλαι Βαλαὰμ, τῶν λόγων μυητὰς σοφοὺς, ἀστεροσκόπους χαρᾶς ἔπλησας, ἀστὴρ ἐκ τοῦ Ἰακὼβ, ἀνατείλας Δέσποτα, ἐθνῶν ἀπαρχὴν εἰσαγομένους, ἐδέξω δὲ προφανῶς, δῶρά σοι δεκτὰ προσκομίζοντας.

ΩΣ πόκῳ γαστρὶ Παρθενικῇ, κατέβης ὑετὸς Χριστὲ, καὶ ὡς σταγόνες ἐν γῇ στάζουσαι, Αἰθίοπες καὶ Θαρσεῖς, καὶ Ἀράβων νῆσοί τε, Σαβὰ Μήδων πάσης γῆς κρατοῦντες, προσέπεσόν σοι Σωτὴρ, δόξα τῇ δυνάμει σου Κύριε.

Ἄλλος. Ἐπαρθέντα σε ἰδοῦσα.

ΡΑπιζόμενος τὸ πρόσωπον τὸ τῇ θείᾳ, χαριτωθὲν λαμπρότητι τῆς ἄνω σοφίας, γέγονας συμμέτοχος Χριστοῦ, παμμακάριστε, τοῦ ὑπὲρ ἡμῶν ῥαπισθέντος σαρκί.

ΙΕρωσύνης τὸ σέβας οὐκ αἰδεσθέντες, οἱ ἀσεβεῖς καὶ πρόμαχοι, κακίας ἐργάται, γῆρας οὐ τιμήσαντες, τὸ σὸν οἱ παράνομοι, ἀνελεημόνως ἐμάστιζον.

ΣΠαργανομένῳ καὶ φάτνῃ ἀνακειμένῳ, τῷ λυτρωτῇ Εὐθύμιε, πολύτιμον δῶρον, Πάτερ προσενήνοχας, τὸ τίμιον αἷμά σου, πόθῳ δι' αὐτὸν ἐκχυνόμενον.

ΤΟῖς τοῦ Σωτῆρος σπαργάνοις ἐνειλιμμένος, καὶ τὴν αὐτοῦ ἀγάπησιν, περιεζωσμένος, τούτῳ προσεπέλασας, τῷ λύθρῳ σταζόμενος, τῷ ἐκ μιαιφόνου χυθέντι χειρός.

Θεοτοκίον.

Ὁ τὰς ἀΰλους Οὐσίας δημιουργήσας, σωματικῶς ὡς ἄνθρωπος, ἐκ σοῦ Θεομῆτορ, σήμερον γεγέννηται, αὐτῷ οὖν βοήσωμεν, δόξα ἐν ὑψίστοις Χριστῷ τῷ Θεῷ.

Καταβασίαι.

Ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί, καὶ
Γένους βροτείου.

Ὠδὴ ε΄. Ὁ Εἱρμός.

ΘΕὸς ὢν εἰρήνης, Πατὴρ οἰκτιρμῶν, τῆς μεγάλης βουλῆς σου τὸν Ἄγγελον, εἰρήνην παρεχόμενον ἀπέστειλας ἡμῖν, ὅθεν θεογνωσίας, πρὸς φῶς ὁδηγηθέντες, ἐκ νυκτὸς ὀρθρίζοντες, δοξολογοῦμεν σε φιλάνθρωπε.

ἘΝ δούλοις τῷ Καίσαρος δόγματι, ἀπεγράφης ποθήσας, καὶ δούλους ἡμᾶς ἐχθροῦ καὶ ἁμαρτίας ἠλευθέρωσας Χριστέ· ὅλον τὸ καθ' ἡμᾶς δὲ πτωχεύσας, καὶ χοϊκὸς, ἐξ αὐτῆς ἑνώσεως, καὶ κοινωνίας ἐθεούργησας

Ἰδοὺ ἡ Παρθένος, ὡς πάλαι φησὶν, ἐν γαστρὶ συλλαβοῦσα ἐκύησε, Θεὸν ἐνανθρωπήσαντα, καὶ μένει Παρθένος· δι' ἧς καταλλαγέντες, Θεῷ οἱ ἁμαρτωλοὶ, Θεοτόκον κυρίως οὖσαν, ἐν πίστει ἀνυμνήσωμεν.

Ἄλλος. Σύ Κύριέ μου φῶς.

ΣΟὶ ἔμψυχος εἰκὼν, τῷ Σωτῆρι προσάγεται, τιμήσας σου τὴν εἰκόνα, ὁ σοφὸς Ἱεράρχης, Εὐθύμιος ὁ ἔνδοξος.

ΣΟὶ Δέσποτα ποιμὴν, εὐθυμίας φερώνυμος, τὰ στίγματα τῆς σαρκός σου, περιφέρων οἰκείῳ ἐν σώματι προσφέρεται.

ΠΥρ ἔσβεσας θυμοῦ, τῶν ἀνόμων Εὐθύμιε, τοῖς χεύμασι τῶν ἀδίκως, ἐκχυθέντων αἱμάτων, παμμάκαρ Ἱερώτατε.

ἈΝέστειλας ὁρμὴν, τῶν ἀθέων Εὐθύμιε, τῇ ῥύμῃ τῶν διδαχῶν σου, σχετικῶς τὴν εἰκόνα, τιμήσας τοῦ Κυρίου σου.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Δόξα· ὁ αὐτός. Τὴν ὡραιότητα.

ΥΠὲρ τῆς πίστεως ἀγωνισάμενος, ποιμὴν πολύαθλε, διπλοῦς ἀπείληφας, καὶ τοὺς στεφάνους πρὸς Χριστοῦ, τοῦ μόνου ἀγωνοθέτου· οὗ τὸ ἀφωμίωμα, σχετικῶς ἀσπαζόμενος, ἐπὶ τὸ ἀρχέτυπον, τὴν τιμὴν ἀναφέρεσθαι, ἐδίδαξας ἑπόμενος Πάτερ, θείοις Πατέρων διδάγμασι.

Καὶ νῦν. Τῆς Ἑορτῆς, Ὅμοιον.

ΣΕπτῶς οἱ Μάγοι νῦν, ἰδοὺ παρίστανται, καὶ τὸ τρισόκλεον δῶρον προσφέρουσι, τῷ ἐν ἀγκάλαις τῆς ἁγνῆς Παρθένου ἐποχουμένῳ. Ἰωσὴφ ὁ δίκαιος, καθορῶν ἐξεπλήττετο, ἤκουον ποιμένες δὲ, τῶν Ἀγγέλων τὴν αἴνεσιν, αἰνούντων εὐλαβῶς καὶ λεγόντων, Δόξα Θεῷ τῷ ἐν ὑψίστοις.

Μετὰ τὴν β'. Στιχολογίαν. Τοῦ Ἁγίου. ἦχος δ'.
*Κατεπλάγη Ἰωσήφ.*

ΝΗπιάσαντα σαρκὶ, τὸν ἀπερίγραπτον Θεὸν, καὶ ὀφθέντα ἐπὶ γῆς, περιγραπτὸν ὡς ἀληθῶς, δισὶ τελείαις φύσεσι καὶ ἐνεργείαις, ἐκήρυξας πιστοῖς· καὶ προσκυνεῖν σχετικῶς, εἰκόνα τὴν αὐτοῦ, λαμπρῶς ἐδίδαξας, καὶ τῆς ἁγνῆς θεόπαιδος, ἁπάντων τε τῶν Ἁγίων Εὐθύμιε· μεθ' ὧν μὴ παύσῃ, καθικετεύων, ὑπὲρ τῶν πίστει τιμώντων σε.

Δόξα· ὁ αὐτός. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

ΟΡθοτομῶν τῆς ἀληθείας τὸν λόγον, καὶ προκυνεῖσθαι σχετικῶς δογματίζων, τὰ τῶν Ἁγίων πάντων ἐκτυπώματα, ἔλαμψας Εὐθύμιε, ἐν συνόδῳ Πατέρων, λύσας ζοφερώτατον, σκότος εἰκονομάχων ὧν τὰς αἰκίσεις φέρων καρτερῶς, ὁμολογίᾳ τὸν βίον ἐλάμπρυνας.

Καὶ νῦν. Τῆς Ἑορτῆς, ὅμοιον.

ΥΠερφυῶς τὸν προαιώνιον λόγον, ἐν τῷ Σπηλαίῳ Βηθλεὲμ γεννηθέντα, ὑπὸ ἀστέρος Μάγοι ὁδηγούμενοι, πίστει προσεκύνησαν, καὶ Ποιμένες τὸ θαῦμα, εἶδον καὶ ἐξέστησαν· ἡ Παρθένος δὲ μήτηρ, ἐκπληττομένη ἔλεγεν αὐτῷ, πῶς σε σπαργάνοις εἱλήσσω τὸν κτίστην μου.



ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Μετὰ τὸν Πολυέλαιον. Κάθισμα τοῦ Ἁγίου.
ἦχος πλ. δ'. Τὴν σοφίαν καὶ λόγον.

Ἰωάννου τοὺς τρόπους τοῦ Βαπτιστοῦ, ἐκμιμούμενος Πάτερ, καὶ Ἡλιοῦ, τὸν ζῆλον τὸν ἔνθεον, βασιλεῖς ἀθετήσαντας, τὴν σχετικὴν εἰκόνων τῶν θείων προσκύνησιν, διελέγχεις ἄριστα, ὡς πίστεως πρόμαχος, ὅθεν καὶ κινδύνους, καρτερῶς ὑπομείνας, πικρὰς ἐξορίας τε, καὶ ἐπώδυνον θάνατον, Ἱερομάρτυς Εὐθύμιε, πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Δόξα. ὁ αὐτός. ὅμοιον.

Ἰθυνόμενος αὔραις ταῖς θεϊκαῖς, πρὸς λιμένας ὡρμίσθης τοὺς γαληνούς, ἐν γῇ δὲ κατέλειπες, τὸ πολύαθλον σκῆνός σου, θησαυρὸν ἀνέκλειπτον, καὶ κρήνην ἀέναον, πλημμυροῦσαν ῥεῖθρα, πιστοῖς τῶν Ἰάσεων· ὃ νῦν προσκυνοῦντες, ἀρυόμεθα πόθῳ, τὴν χάριν τὴν ἄφθονον, καὶ παθῶν ἀπολύτρωσιν, Ἱερομάρτυς Εὐθύμιε, πρέσβευε Χριστῷ τῷ Θεῷ, τὴν εἰρήνην δοῦναι τοῖς τιμῶσί σε, καὶ ἑορτάζουσι πόθῳ τὴν σεπτήν σου ἄθλησιν.

Καὶ νῦν. Τῆς Ἑορτῆς. ὅμοιον.

Οὐρανίων Ἀγγέλων δόξα Θεῷ, ἐν ὑψίστοις, εἰρήνη τε ἐπὶ γῆς, βοώντων ἐθαύμαζον, οἱ Ποιμένες καὶ ἔσπευσαν, εἰς Βηθλεὲμ ἀπαίροντες, ἰδεῖν τὸν τικτόμενον, ὃν καὶ προσκυνήσαντες, ὡς κτίστην ἀνύμνησαν. Μάγοι δὲ τὰ δῶρα, τῷ τεχθέντι Δεσπότῃ, ἀστέρος προλάμποντος, εὐσεβῶς προσκομίζουσιν, Ἰωσὴφ δὲ ὁ δίκαιος, Ἀγγέλου κελεύσει θεϊκῇ, τὴν πρὸς ξένην κάθοδον πεποίηται, καθυπείκων τοῖς θείοις προστάγμασι.

Τὸ Ἀντίφωνον τοῦ δ'. ἤχου. Προκείμενον ἦχος δ'.
Τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.
Στίχ. Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ περὶ πάντων, ὧν ἀνταπέδωκεν ἡμῖν.
Πᾶσα πνοή. Καὶ τὸ Εὐαγγέλιον.

Εἶπεν ὁ Κύριος πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν Ἰουδαίους, ὁ μὴ εἰσερχόμενος διὰ τῆς θύρας. . .

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ὁ Ν΄. Δόξα ταῖς τοῦ Ἱεράρχου.

Καὶ νῦν, ταῖς τῆς Θεοτόκου.

Ἐλεήμων ἐλέησόν με ὁ Θεός. Καὶ τὸ Ἰδιόμελον.

ἦχος πλ. β΄.

ΣΗμερον τὰ στίφη τῶν πιστῶν πνευματικὴν χορείαν συστησάμενοι, τὸν τῆς εὐθυμίας ἐπώνυμον Ἱεράρχην ἀσματικοῖς ἐγκωμίοις καταστέψωμεν λέγοντες· χαίροις ὁ τῆς πίστεως πρόμαχος, καὶ τῆς Ἐκκλησίας ἑδραίωμα ἄσειστον· χαίροις ὁ τῶν οἰκονομάχων καθελὼν τὰς ἐνστάσεις, καὶ τὸν τῆς ὁμολογίας στέφανον παρὰ Θεοῦ κομισάμενος· χαίροις ὁ τὸ ἡγιασμένον σου σῶμα καταλείψας ἡμῖν ἰατρεῖον ἄμισθον νοσημάτων, καὶ θλιβομένων ψυχῶν παραμύθιον. Ἀλλ' ὦ παμμάκαρ Εὐθύμιε, ὡς ἀεὶ παριστάμενος Χριστῷ τῷ Θεῷ, μὴ διαλλείπῃς πρεσβεύειν ὑπὲρ ἡμῶν, τῶν ἐν πίστει καὶ πόθῳ τιμώντων τὴν σεβάσμιον μνήμην σου.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Σῶσον ὁ Θεὸς τὸν λαόν σου!

Καὶ οἱ Κανόνες, τῆς Ἑορτῆς, καὶ τοῦ Ἁγίου.

Ὁ Κανὼν τῆς Ἑορτῆς· οὗ ἡ ἀκροστιχίς.

Χριστὸς βροτωθείς, ἦν ὅπερ, Θεὸς μένει.

Ὠδὴ ά. ἦχος ά. Ὁ Εἱρμός.

ΧΡιστὸς γεννᾶται, δοξάσατε· Χριστὸς ἐξ οὐρανῶν ἀπαντήσατε, Χριςὸς ἐπὶ γῆς, ὑψώθητε· ᾄσατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ, καὶ ἐν εὐφροσύνῃ ἀνυμνήσατε λαοί, ὅτι δεδόξασται.

ΡΕύσαντα ἐκ παραβάσεως, Θεοῦ τὸν κατ' εἰκόνα γενόμενον, ὅλον τῆς φθορᾶς ὑπάρξαντα, κρείττονος ἐπταικότα, θείας ζωῆς, αὖθις ἀναπλάττει, ὁ σοφὸς Δημιουργός, ὅτι δεδόξασται.

ΙΔὼν ὁ Κτίστης ὀλλύμενον, τὸν ἄνθρωπον χερσίν, ὃν ἐποίησε, κλίνας οὐρανοὺς κατέρχεται· τοῦτον δὲ ἐκ Παρθένου, θείας ἁγνῆς, ὅλον οὐσιοῦται· ἀληθείᾳ σαρκωθείς, ὅτι δεδόξασται.

Σοφία λόγος καὶ δύναμις, Υἱὸς ὢν τοῦ Πατρὸς, καὶ ἀπαύγασμα, Χριστὸς ὁ Θεός. Δυνάμεις λαθὼν, ὅσας ὑπερκοσμίους, ὅσας ἐν γῇ, καὶ ἐνανθρωπήσας, ἀνεκτήσατο ἡμᾶς, ὅτι δεδόξασαι.

Τοῦ Ἁγίου. οὗ ἡ ἀκροστιχίς.

Τεχθεὶς σὲ Χριστὸς σπαργάνοις στέφει Πάτερ.

ἦχος δ'. Θαλάσσης τὸ ἐρυθραῖον πέλαγος.

ΤΕχθέντα, τὸν ἀεὶ ὄντα Κύριον, καὶ σπαργανούμενον, σπαργανωθεὶς μαστίγων αἰκισμοῖς, εὐσεβῶς προσεκύνησας, καὶ πρὸς αὐτὸν Εὐθύμιε, μετ' εὐθυμίας προσεχώρησας.

ΕΝ φάτνῃ, ἀνακλιθεὶς ὁ Κύριος, δῶρον γενέθλιον, τῶν σῶν αἱμάτων μάκαρ τοὺς κρουνοὺς, καὶ πληγῶν σου τοὺς μώλωπας, ὑπὲρ χρυσὸν καὶ λίβανον, καὶ ὑπὲρ σμύρναν προσεδέξατο.

ΧΡυσὸν μὲν, παρὰ τῶν Μάγων δέχεται, τεχθεὶς ὁ Κύριος, τῆς πρὸς αὐτὸν ἀγάπης δὲ τῆς σῆς, Ἱεράρχα τὸ γνήσιον, καὶ τὸ στεῤῥὸν καὶ εὔτονον, τῆς ἀνενδότου καρτερίας σου.

ΘΑνάτῳ, τὸν τοῦ Δεσπότου θάνατον, ἐκμιμησάμενος, δεσποτικὰς ἐβόησας φωνὰς ὑπὲρ τῶν ἀναιρούντων σε, εἰλικρινῶς εὐχόμενος, Ἱεροφάντα πανσεβάσμιε.

Θεοτοκίον.

ΕΚ σοῦ τῆς Ὑπεραγίας σήμερον· ὁ τοῦ παντὸς ποιητὴς, σωματικῶς γεννᾶται καθ' ἡμᾶς, καὶ σπαργάνοις εἱλίσσεται, ὁ σπαργανώσας θάλασσαν, ὁμίχλῃ Μῆτερ Ἀειπάρθενε.

Καταβασίαι.

Χριστὸς γεννᾶται. καὶ Ἔσωσεν λαόν.

Ὠδὴ γ'. Ὁ Εἱρμός.

ΤΩ πρὸ τῶν αἰώνων ἐκ Πατρὸς γεννηθέντι ἀῤῥεύστως Υἱῷ, καὶ ἐπ' ἐσχάτων ἐκ Παρθένου, σαρκωθέντι ἀσπόρως, Χριστῷ τῷ Θεῷ βοήσωμεν· ὁ ἀνυψώσας τὸ κέρας ἡμῶν ἅγιος εἶ Κύριε.

Θεοτοκίον.

ΡΟῦς ἔστη τῆς φθορᾶς, ἡ Παρθένος ἀφθόρως γὰρ, γεγέννηκε τὸν τὴν φύσιν, τῶν ἀνθρώπων φθαρεῖσαν, φθορᾶς ἐλευθερώσαντα.

Καταβασίαι.

Θεὸς ὢν εἰρήνης. Καὶ
Ἐκ νυκτὸς ἔργων.

Ὠδὴ ς΄. Ὁ Εἱρμός.

ΣΠλάγχνων Ἰωνᾶν, ἔμβυον ἀπήμεσεν, ἐνάλιος θὴρ, οἷον ἐδέξατο· τῇ Παρθένῳ δὲ ἐνοικήσας ὁ Λόγος, καὶ σάρκα λαβὼν, διελήλυθε φυλάξας ἀδιάφθορον, ἧς γὰρ οὐχ᾽ ὑπέστη ῥεύσεως, τὴν τεκοῦσαν κατέσχεν, ἀπήμαντον.

ΗΛθε σαρκωθεὶς, Χριστὸς ὁ Θεὸς ἡμῶν, γαστρὸς ὃν Πατὴρ, πρὸ Ἑωσφόρου γεννᾷ· τὰς ἡνίας δὲ, ὁ κρατῶν τῶν ἀχράντων Δυνάμεων, ἐν φάτνῃ τῶν ἀλόγων ἀνακλίνεται, ῥάκη σπαργανοῦται, λύει δὲ πολυπλόκους σειρὰς παραπτώσεων.

ΝΈον ἐξ Ἀδὰμ, παιδίον φυράματος, ἐτέχθη Υἱὸς, καὶ πιςῶς δέδοται· τοῦ δὲ Μέλλοντος, οὗτος ἐστὶν αἰῶνος, Πατὴρ καὶ Ἄρχων, καὶ καλεῖται τῆς μεγάλης βουλῆς Ἄγγελος, οὗτος ἰσχυρὸς Θεός ἐςι, καὶ κρατῶν ἐξουσίᾳ τῆς κτίσεως.

Ἄλλος. Θύσω σοι μετὰ φωνῆς.

ΓΥμνώσει τοῦ τῶν πάντων Σωτῆρος τὴν γύμνωσιν, ἐκμιμησάμενος Πάτερ, καὶ μαστίγων πόνους ἐγκαρτερήσας, τὸ σὸν αἷμα, τῷ ἐκείνου ἐπέχεας αἵματι.

ΑΓάπην, καὶ ἐλπίδα, καὶ πίστιν θεόφρονα, τὰς δι᾽ αἰῶνος μενούσας, ἀρετὰς πλουτήσας τῷ γεννηθέντι, ἐκ Παρθένου δοροφορεῖς τρισμάκαρ Εὐθύμιε.

ΝΟμίμως, τῷ Χριστῷ λειτουργήσας τὴν ἔνθεον, ἱερουργίαν τοῦ λόγου, μισθὸν τούτου, Πάτερ ἀντεκομίσω, θεοῤῥήμων, τὸ σὲ τελειωθῆναι δι᾽ αἵματος. 3

Θεοτοκίον.

Ο πλάσας, κατ' εἰκόνα ἰδίαν τὸν ἄνθρωπον, διὰ πολλὴν εὐσπλαγχνίαν, ἀναπλάττει τοῦτον ἐκ σοῦ Παρθένε, Θεομῆτορ, ὁλοκλήρως αὐτὸν ἐνδυσάμενος.

Καταβασίαι.

Σπλάγχνων Ἰωνᾶν. Καὶ
Ναίων Ἰωνᾶς.

Κοντάκιον τῆς ἡμέρας. ἦχος πλ. β'.

Ο πρὸ Ἑωσφόρου ἐκ Πατρὸς ἀμήτωρ γεννηθείς, ἐπὶ τῆς γῆς ἀπάτωρ ἐσαρκώθη σήμερον ἐκ σοῦ· ὅθεν Ἀστὴρ εὐαγγελίζεται Μάγοις. Ἄγγελοι δὲ μετὰ Ποιμένων ὑμνοῦσι, τὸν ἄχραντον τόκον σου, ἡ Κεχαριτωμένη.

Ὁ Οἶκος.

Τὸν ἀγεώργητον βότρυν βλαστήσασα ἡ μυστικὴ ἄμπελος, ὡς ἐπὶ κλάδων, ἀγκάλαις ἐβάσταζε, καὶ ἔλεγε· σὺ εἶ καρπός μου, σὺ εἶ ζωή μου! ἀφ' οὗ ἔγνων, ὅτι καὶ ὃ ἤμην, εἰμί· σὺ Θεός μου! Τὴν γὰρ σφραγῖδα τῆς Παρθενίας μου ὁρῶσα ἀκατάλυτον, κηρύττω σε ἄτρεπτον Λόγον, σάρκα γενόμενον· οὐκ οἶδα σποράν, οἶδά σε λύτην τῆς φθορᾶς· ἁγνὴ γὰρ εἰμί, σοῦ προελθόντος ἐξ ἐμοῦ· ὡς γὰρ εὗρες, ἔλιπες μήτραν ἐμήν, διὰ τοῦτο συγχορεύει πᾶσα κτίσις βοῶσά μοι, χαῖρε, ἡ κεχαριτωμένη.

Τῷ αὐτῷ Μηνὶ Κϛ'. Ἡ Σύναξις τῆς Ὑπεραγίας Δεσποίνης ἡμῶν, καὶ Θεοτόκου Μαρίας.

» Λεχὼ ἄμωμον ἀνδρὸς μὴ γνοῦσαν λέχος,
» Δώροις ἀμώμοις δεξιοῦμαι τοῖς λόγοις·
» Μολπὴν ἁγνοτάτῃ λεχοῖ εἰκάδι ἕκτῃ ἀείδω.

Ἡ εἰς Αἴγυπτον φυγὴ τῆς Ὑπεραγίας Θεοτόκου, μετὰ τοῦ θείου βρέφους, καὶ Ἰωσὴφ τοῦ Μνήστορος.

» Ἥκοντα πρὸς σὲ τὸν πάλαι πλήξαντά σε,
» Αἴγυπτε φρίττε, καὶ Θεὸν τοῦτον φρόνει·

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ὁ Ὅσιος Πατὴρ ἡμῶν Κωνσταντῖνος ὁ ἐξ Ἰουδαίων, ἐν εἰρήνῃ τελειοῦται.

» Ὡς ἐξ ἀκανθῶν τῶν Ἰουδαίων ῥόδον,
» Ὁ θεῖος ἀνθεῖ καὶ θανὼν Κωνσταντῖνος.

Ὁ Ὅσιος Πατὴρ ἡμῶν Εὐάρεστος, ἐν εἰρήνῃ τελειοῦται.

» Ἔσπευδεν Εὐάρεστος ἔργῳ καὶ λόγῳ,
» Ἕως τελευτῆς εὐαρεστεῖν σοι Λόγε.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Εὐθυμίου Ἐπισκόπου Σάρδεων τοῦ Ὁμολογητοῦ.

» Θεῷ παραστὰς Εὐθύμιε τρισμάκαρ,
» Πλήρης ἀλήκτου τυγχάνεις εὐθυμίας.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

## Ο ΒΙΟΣ ΤΟΥ ΑΓΙΟΥ.

Διπλῆ εἶναι ἡ ἀγάπη (εὐλογημένοι Χριστιανοί) ἤγουν φυσικὴ ἀγάπη καὶ ἠθικὴ ἀγάπη. Καὶ φυσικὴ ἀγάπη μὲν εἶναι ἐκείνη ἡ συμπάθεια, τὴν ὁποίαν ἔχει φυσικῶς ὁ ἄνθρωπος πρὸς τὸν ὅμοιόν του ἄνθρωπον, καὶ πρὸς πᾶν ἄλλο πρᾶγμα, τὸ ὁποῖον ἤθελε φανῇ εἰς αὐτὸν ἀρεστὸν καὶ ἄξιον τῆς ἀγάπης του. Τοιουτοτρόπως καθ' εἷς ἀγαπᾷ τὸν ἄλλον ὡς ἄνθρωπον ὅμοιόν του, καὶ θέλει τὸ καλὸν καὶ τὴν εὐτυχίαν του. Ἡ ἀγάπη αὕτη εἶναι ἔμφυτος εἰς τὴν καρδίαν τοῦ ἀνθρώπου, καὶ εἶναι ἀδύνατον νὰ τὴν ἀρνηθῇ, ἐν ὅσῳ εἶναι καθαρὸς ὁ νοῦς του ἀπὸ πάθη καὶ ἀπὸ προλήψεις. Φυσικῶς λοιπὸν ὁ ἄνθρωπος ἀγαπᾷ τοὺς γονεῖς του, τοὺς συγγενεῖς του, τοὺς φίλους του, τοὺς συμπολίτας του, τοὺς ὁμοεθνεῖς του, καὶ γενικῶς πάντα ἄνθρωπον, ἐν ὅσῳ τὸν θεωρεῖ ὡς πλάσμα ἑνὸς Θεοῦ, καὶ τέκνα δύο πρωτοπλάστων ἀνθρώπων, ὅμοια καθ' ὅλας τὰς φυσικὰς ὀρέξεις καὶ κλίσεις.

Ἠθικὴ δὲ ἀγάπη εἶναι ἐκείνη, τὴν ὁποίαν δείχνει ὁ ἄνθρωπος πρὸς τὸ καλὸν καὶ πρὸς τὴν ἀρετήν. Τοιουτοτρόπως ἀγαπῶμεν τοὺς δικαίους ἀνθρώπους, τοὺς ἐλεήμονας, τοὺς εὐεργέτας, καὶ γενικῶς τοὺς ἐναρέτους.

Ἀφίνω τὴν πρὸς τὸν Θεὸν ἀγάπην, ἥτις εἶναι φυσικὴ καὶ ἠθική· καθότι ὁ Θεὸς εἶναι ὁ οὐράνιος πατὴρ ἡμῶν, καὶ δημιουργὸς τοῦ παντὸς, καὶ ὁ μόνος τέλειος κατὰ τὴν ἁγιότητα καὶ κατὰ τὴν ἀρετήν. Ἡ φυσικὴ ἀγάπη εὑρίσκεται καὶ εἰς ὅλα τὰ ἄλογα ζῶα, καὶ τὰ θηρία τῆς γῆς· διότι ἕκαστον τούτων ἀγαπᾷ τὸ ὅμοιον, καὶ τρέχει πρὸς τὸ ὁμόφυλον, δυσαρεστεῖται δὲ καὶ φωνάζει ὅταν ἀποχωρίζεται ἀπὸ τῶν ὁμογενῶν του ζώων· πώποτε δὲ τὰ ἄλογα ταῦτα ζῶα, καὶ αὐτὰ ἀκόμι τὰ ἀγριώτερα θηρία δὲν μισοῦσι, μήτε ἐχθρεύονται, μήτε ἀντιμάχονται πρὸς τὰ ὁμογενῆ αὐτοῖς ζῶα, μηδὲ ἐκβαίνουν ἀπὸ τὰ ὅρια τῆς ἐμφύτου ἀγάπης.

Ἀλλ' ὁ ἄνθρωπος, μ' ὅλον ὅτι εἶναι τὸ ἐντελέστερον καὶ θεοπρεπέστερον ἔργον τοῦ Θεοῦ, μ' ὅλον ὅτι εἶναι προικισμένος μὲ τὰ πλέον ἐξαίρετα καὶ πολίτιμα χαρίσματα τῆς θ ε ί α ς σ ο φ ί α ς, μὲ λογικὸν, μὲ νοῦν, μὲ κρίσιν, μ' ὅλον ὅτι ἔχει τὴν δύναμιν καὶ τὰ μέσα νὰ καλλιεργῇ, καὶ νὰ τελειοποιῇ τὰς αἰσθήσεις του καὶ τὰς γνώσεις του διὰ τῆς ἔσω καὶ τῆς ἔξω σοφίας, μ' ὅλα ταῦτα, λέγω, ὁ ἄνθρωπος τυφλούμενος ἀπὸ κακὰ πάθη, καὶ σκοτιζόμενος ἀπὸ διεστραμμένας προλήψεις, ἀθετεῖ καὶ καταπατεῖ τὴν φυσικὴν καὶ ἠθικὴν ἀγάπην, καὶ οὕτω γίνεται ἀγριώτερος καὶ τῶν ἀλόγων ζώων καὶ θηρίων τῆς γῆς, κινούμενος ἀλόγως κατὰ τῆς ἀνθρωπότητος, καὶ κατ' αὐτῶν τῶν ὁμογενῶν καὶ συγγενῶν του, καὶ τὸ θηριωδέστερον καὶ ἐλεεινότερον, ἀντιβαίνει μανιωδῶς καὶ κατ' αὐτοῦ τοῦ δημιουργοῦ Θεοῦ, γεμάτα εἶναι καὶ τὰ παλαιὰ καὶ τὰ νεώτερα ἱστορικὰ βιβλία ἀπὸ τοιαῦτα παραδείγματα αἱμοβόρων ἀνθρώπων, ἢ μᾶλλον εἰπεῖν ἀνθρωπομόρφων θηρίων.

Τοιοῦτοι εἶναι καὶ ἐκεῖνοι οἱ βασιλεῖς καὶ ἡγεμόνες, οἵτινες τυφλούμενοι ἀπὸ ἰδιοφελῆ αὐτῶν πάθη, καὶ σκοτιζόμενοι ἀπὸ ματαίας καὶ ἀνοήτους προλήψεις, κατεπάτησαν ἀσυνειδήτως πᾶσαν αἴσθησιν φυσικῆς καὶ ἠθικῆς ἀγάπης, ἐκίνησαν πόλεμον κατὰ τοῦ ζῶντος καὶ ἀληθινοῦ Θεοῦ, καὶ διωγμὸν μέγαν κατὰ τῆς ἀνθρωπότητος, βασανίζοντες καὶ θανατώνοντες ἀσπλάγχνως τοὺς ἀληθινοὺς λατρευτὰς τῆς θείας σοφίας, χωρὶς νὰ ἀπέχουν καὶ ἀπὸ τῶν ἰδίων ὁμογενῶν καὶ φίλων, καὶ συγγενῶν, καὶ φιλτάτων καὶ αὐτῶν τῶν γονέων, βιάζοντες αὐτοὺς νὰ ἀρνηθῶσι τὸν δημιουργὸν καὶ κτίστην τοῦ παντὸς Θεὸν, καὶ νὰ προσκυνήσωσι τὰ κτίσματα, καὶ τὰ κωφὰ καὶ ἀναίσθητα εἴδωλα, ἢ μᾶλλον εἰπεῖν τοὺς πονηροὺς δαίμονας.

Ἀλλ' ἐκεῖνοι μὲν εἰδωλολάτραι ὄντες καὶ ἑτερόθρησκοι, ἐβασάνιζαν τοὺς Χριστιανοὺς, σπουδάζοντες νὰ τοὺς μεταστρέψωσι εἰς τὴν πλάνην τῆς εἰδωλολατρείας· ἡ δὲ αἵρεσις τῶν δυσεβῶν εἰκονομάχων ὑπερέβη πᾶσαν θηριωδίαν καὶ ἀπανθρωπίαν· ἐπειδὴ χριστιανοὶ ὄντες, κατέτρεχον τοὺς χριστια-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

νοὺς, καὶ τῆς τοῦ Χριστοῦ Ἐκκλησίας ὀπαδοὶ ὄντες, ἐβασάνιζαν, καὶ ἐξόριζαν, καὶ ἐθανάτωναν τοὺς σεβομένους τὰ ἐκτυπώματα τοῦ Χριστοῦ καὶ τῆς κυρίας ἡμῶν Θεοτόκου, καὶ τῶν Ἁγίων πάντων, καὶ οὕτως ἐγύμνωσαν τὰς Ἐκκλησίας ἀπὸ τὸν ὡραιότερον καὶ ἀληθῆ στολισμὸν, ἤτοι ἀπὸ τὰς σεπτὰς καὶ ἁγίας Εἰκόνας.

Καὶ τοῦτο δὲν ἦτον ἄλλο, παρὰ τέχνη τοῦ παμπονήρου καὶ φθονεροῦ διαβόλου, διὰ νὰ ταπεινώσῃ καὶ νὰ ὀλιγωστεύσῃ καὶ νὰ σμικρύνῃ τὴν δόξαν καὶ εὐπρέπειαν τῆς τοῦ Χριστοῦ Ἐκκλησίας, καὶ τὸν ὡραῖον καὶ ἅγιον στολισμὸν τῶν ἱερῶν ναῶν. Ἀλλ' ἔμεινε τέλος πάντων νικημένος καὶ κατησχυμένος ὁ ἐχθρὸς τοῦ καλοῦ καὶ τῆς ἀληθείας διάβολος, καὶ πάλιν ἡ Ἐκκλησία ἔμεινεν ἀσάλευτος καὶ θριαμβεύουσα, ἐπειδὴ κατὰ τὸν λόγον τοῦ Κυρίου « Πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς. » Οἱ ὑπέρμαχοι τῆς ἀληθείας, καὶ γενναῖοι τοῦ Χριστοῦ στρατιῶται ἠγωνίσθησαν ὑπὲρ τῶν ἁγίων Εἰκόνων μέχρις αἵματος, πολεμήσαντες μὲν τὴν κακοδοξίαν τῶν εἰκονομάχων μὲ ἀποδείξεις γραφικὰς καὶ ἱστορικὰς, ἀποδείξαντες δὲ ὅτι τιμῶμεν καὶ προσκυνοῦμεν τὰς ἁγίας Εἰκόνας ὄχι ὡς πρωτότυπα, ἀλλ' ὡς τύπους τῶν πρωτοτύπων, ὄχι λατρευτικῶς, ἀλλὰ τιμητικῶς καὶ σχετικῶς, καθότι ἡ τιμὴ τὴν ὁποίαν ἀποδίδομεν εἰς αὐτὰς, ἀνάγεται καὶ ἀναφέρεται εἰς τὰ εἰκονιζόμενα πρωτότυπα· ἀσπαζόμεθα δὲ αὐτὰς, διὰ νὰ ἁγιασθῶμεν καὶ σωματικῶς καὶ ψυχικῶς.

Τίς δύναται δὲ νὰ διηγηθῇ ὅσα ἐδοκίμασε τότε ἀπὸ τοὺς κακόφρονας βασιλεῖς ἡ τοῦ Χριστοῦ Ἐκκλησία! φρικτὰ καὶ ἀνεκδιήγητα κολαστήρια ἐπενοοῦντο κατὰ τῶν ἁγίων ὁμολογητῶν τῆς εὐσεβείας! φυλακαὶ σκοτειναὶ καὶ βρομεραὶ, ἐξορίαι πικραὶ καὶ πολυκαιριναὶ εἰς μακρότατα μέρη, βάσανοι, τιμωρίαι, καὶ τέλος πάντων θάνατοι σκληροὶ καὶ ἐπώδυνοι διεδέχοντο τοὺς ὁμολογητὰς τῶν σεβασμίων εἰκόνων, καὶ στεῤῥοὺς ὑπερμάχους τῆς εὐσεβείας, ἐκ τῶν ὁποίων εἷς εἶναι καὶ ὁ σήμερον παρ' ἡμῖν ἑορταζόμενος καὶ δοξαζόμενος, ὁ ἐν ἁγίοις, λέγω, Πατὴρ ἡμῶν καὶ ὁμολογητὴς Εὐθύμιος, ὁ λαμπρὸς ἡμῶν προστάτης καὶ πολιοῦχος, ὁ μετὰ θαυμασμοῦ πολλοῦ καὶ ἐκπλήξεως ὁρώμενος ὑπὸ πάντων, καὶ ὥσπερ ζῶν καὶ λαλῶν προσκυνούμενος εὐλαβῶς, καὶ ἀσπαζόμενος μετὰ πόθου· τοῦ ὁποίου τὸν βίον καὶ τὰ γενναῖα παλαίσματα θέλω διηγηθῇ σήμερον πρὸς ὑμᾶς, εἰς δοξολογίαν μὲν Θεοῦ, αἶνον δὲ καὶ τιμὴν τοῦ Ἁγίου, καὶ πρὸς ὠφέλειαν ψυχικὴν πάντων ὑμῶν τῶν φιλεόρτων πανηγυριστῶν, τοὺς ὁποίους παρακαλῶ, νὰ προσέξητε μετ' εὐλαβείας εἰς τὴν διήγησιν.

Οὗτος ὁ ἐν Ἁγίοις Πατὴρ ἡμῶν Εὐθύμιος ἔζη κατὰ τοὺς χρόνους τῶν εὐσεβῶν καὶ ὀρθοδόξων βασιλέων, Κωνσταντίνου καὶ Ἑλένης τῆς μητρὸς

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

αὐτοῦ, ἤτοι κατὰ τὸ ἑπτακοσιοστὸν ὀγδοηκοστὸν ἔτος ἀπὸ Χριστοῦ. Κατήγετο ἀπὸ τὰ μέρη τῆς Ἀσίας, ἔκ τινος χώρας, Οὐζαρὰ λεγομένης, εἰς τὰ σύνορα τῆς Λυκαονίας· υἱὸς Χριστιανῶν γονέων, οἵτινες ἔχοντες κτήματα ἴδια ἀμπέλους, χωράφια, ζῶα, καὶ ἄλλα κινητὰ καὶ ἀκίνητα πράγματα, ἔζων μὲ αὐτάρκειαν. Εἶχον δὲ καὶ ἄλλα τέκνα, τὰ ὁποῖα ἔβαλαν εἰς διαφόρους τέχνας, τὸν δὲ ἅγιον ἔδωκαν οἱ γονεῖς του εἰς τὴν μάθησιν τῶν ἱερῶν γραμμάτων, τὰ ὁποῖα ἔμαθε καλῶς, εἰς ὀλίγον διάμα καιροῦ, ὁμοίως καὶ ὅλην τὴν Ἐκκλησιαστικὴν τάξιν καὶ ἀκολουθίαν, διότι εἶχε νοῦν δεξιὸν, καὶ φυσικὴν ἐπιτηδειότητα, εἰς τὸ μανθάνειν. Ἔπειτα ἠθέλησεν ὁ ἅγιος νὰ μάθῃ καὶ τὴν γλῶσσαν τῆς Ἐκκλησίας, ἤγουν ἐπεθύμησε νὰ διδαχθῇ καὶ τῶν Ἑλληνικῶν μαθημάτων τὴν παιδείαν, ὡς ἀναγκαίαν εἰς τὸν Χριστιανὸν, διὰ νὰ ἀναγινώσκῃ καὶ νὰ ἐννοῇ, καὶ νὰ ἐξηγῇ εἰς ἄλλους τὰς θείας Γραφὰς, δηλαδὴ τὴν Παλαιὰν καὶ Νέαν Διαθήκην, εἰς τὰς ὁποίας εὑρίσκει τὴν αἰώνιον ζωὴν, καθὼς λέγει αὐτὸς ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς εἰς τὸ ἱερὸν αὐτοῦ Εὐαγγέλιον.

« Ἐρευνᾶτε τὰς Γραφὰς, ἐν αὐταῖς γὰρ εὑρήσετε ζωὴν αἰώνιον. » Λέγει λοιπὸν εἰς τοὺς γονεῖς του ὁ Ἅγιος.

